
ΟΙ ΕΝ ΑΡСΙΝΟΗ
ΔΙΑΛΑΜΨΑΝΤΕС ΑΓΙΟΙ
Ο Α. ΑΓΑΠΙΟС
Ο Α. ΒΑΡΛΑΑΜ
Ο Α. ΝΙΚΩΝ
Ο Α. ΑΡΚΑΔΙΟС
Ἁγιογραφήθη ἐπὶ Χωρεπισκόπου Ἀρσινόης Γεωργίου - ΒΕ΄.

# ΑΚΟΛΟΥΘΙΑ

# ΤΗΣ ΣΥΝΑΞΕΩΣ

# ΠΑΝΤΩΝ ΤΩΝ ΑΡΣΙΝΟΪΤΩΝ ΑΓΙΩΝ

**ἤτοι**

**Ἀρίστωνος, Ἀρκαδίου, Νίκωνος καὶ Προεχίου, τῶν τῆς Ἀρσινόης Ἐπισκόπων, τῶν ὁσίων, Θεοσεβίου καὶ τῆς Συμβίου αὐτοῦ, Κόνωνος, τοῦ ἐν τῷ Ἀκάμαντι, Καλανδίωνος, Ἀγαπίου καὶ Βαρλαάμ, τῶν ἐν Ἀρόδαις, καὶ Νικολάου ὁσιονεομάρτυρος, τοῦ Ντβάλι**

Ψαλλομένη τῇ Β΄ Κυριακῇ τοῦ Ἰουλίου.

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

**********************************************

## ΕΝ ΤΩ͂ ΜΙΚΡΩ͂ ΕΣΠΕΡΙΝΩ͂

Μετὰ τὸν Προοιμιακόν, τὸ **Μακάριος ἀνήρ**, εἰς δὲ τὸ **Κύριε ἐκέκραξα** ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·

Ἦχος α΄. **Τῶν οὐρανίων ταγμάτων.**

Τῆς Ἀρσινόης ποιμένας
καὶ ἀντιλήπτορας,
τὴν ἱερὰν τετράδα
εὐκλεῶν ἐπισκόπων,
ὁσίων σὺν ἑξάδι καὶ τὸν σεμνὸν
νέον ὁσιομάρτυρα,
στεῤῥὸν Νικόλαον, ᾄσμασι μελιχροῖς
οἱ πιστοὶ ἐγκωμιάσωμεν.

Τοὺς εὐκλεεῖς Ἀρσινόης
ἱεροφάντορας,
Ἀρκάδιον τὸν θεῖον,
καὶ Ἀρίστωνα πάνυ
ὁμοῦ σὺν Προεχίῳ τῷ ἐκλεκτῷ,
καὶ θεόφρονι Νίκωνι

κοινοῖς ἐν ὕμνοις ἀξίως τῶν εὐσεβῶν
αἱ χορεῖαι μεγαλύνωμεν.

Ἀρόδων εὐχῇ ἐκθύμως
ἀνευφημήσωμεν
μελισταγέσιν ὕμνοις
Καλανδίωνα θεῖον,
Ἀγάπιον φωσφόρον καὶ Βαρλαάμ,
ὡς ἀσκήσεως λείρια,
καὶ σὺν αὐτοῖς Γεωργίας ἡδὺν βλαστόν,
ὁσιόαθλον Νικόλαον.

Τῆς Ἐκκλησίας φωστῆρας,
ὁσίων πρότυπα,
ὡς προσευχῆς πυξία
καὶ ἁγνείας προβόλους
τιμήσωμεν ἐν ὕμνοις χρεωστικῶς
θεαυγῆ Θεοσέβιον
σὺν τῇ ὁσίᾳ Συμβίᾳ αὐτοῦ λαμπρῶς
καὶ Ἀκάμαντος φῶς, Κόνωνα.

Δόξα. Ἦχος β΄.

Τοὺς μυριπνόους κρίνους, τοὺς μυρίσαντας Ἀρσινόην
ποιμασίας τρόποις, ἀρετῶν εὐωδίᾳ καὶ ὀδμαῖς μαρτυρίου
κοινοῖς ἐν ὕμνοις σήμερον ἐγκωμιάσωμεν·
οὗτοι γὰρ τῶν αἰωνίων τυχόντες ἀγαθῶν
καὶ τῆς οὐρανίου ἀπολαύοντες Βασιλείας
ἀδιαλείπτως Χριστῷ τῷ Παμβασιλεῖ πρεσβεύουσιν
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου......

Ἀπόστιχα. Ἦχος β΄. **Οἶκος τοῦ Ἐφραθᾶ.**

Δῆμον θεοειδῆ
ἁγίων Ἀρσινόης,
συστάδα πανολβίαν
ἱεραρχῶν, ὁσίων
καὶ ἀθλητῶν τιμήσωμεν.

Στίχος. Θαυμαστός, ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Νίκωνα παμφαῆ,
Ἀρκάδιον θεόπνουν,
Ἀρίστωνα φωσφόρον
καὶ τὸν πνευματοφόρον
Προέχιον ὑμνήσωμεν.

Στίχος. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Χαίρετε Βαρλαάμ,
τρισμάκαρ Καλανδίων,
Ἀγάπιέ τε Κόνων
καὶ σὺν τῇ σῇ Συμβίᾳ
θεόφρον Θεοσέβιε.

Δόξα. Τριαδικόν.

Δῆμον τῶν εὐκλεῶν
ἐδόξασας Ἁγίων
τῆς Ἀρσινόης Κύπρου,
Τριὰς ὑπεραγία,
Θεότης ὑπερένδοξε.

Καὶ νῦν. Θεοτοκίον.

Μῆτερ τοῦ Λυτρωτοῦ
ὑπερευλογημένη,
ἐλέησον σοὺς δούλους
Ἁγίων Ἀρσινόης
ἐνθέρμοις παρακλήσεσι.

Νῦν ἀπολύεις......τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ **Μακάριος ἀνήρ**, εἰς δὲ τὸ Κύριε **ἐκέκραξα** ἱστῶμεν στίχους ι´ καὶ ψάλλομεν Στιχηρὰ Ἀναστάσιμα δ´ τοῦ τυχόντος ἤχου καὶ τὰ ἑξῆς στ´ Προσόμοια τῶν Ἁγίων·

Ἦχος δ´. **Ὡς γενναῖον ἐν μάρτυσι.**

Δεῦτε, πάντες φιλέορτοι,
Ἀρσινόης τιμήσωμεν
δῆμον τῶν Ἁγίων τὸν οὐρανόφρονα,
τοὺς φρυκτωροὺς θείας χάριτος
φωτίζοντας ἅπασαν
οἰκουμένην ταῖς αὐγαῖς
εὐσεβείας, χρηστότητος,
ἀγαθότητος
καὶ ἠθῶν τελειότητος βοῶντες·
Ἐκκλησίας τοῦ Ὑψίστου
σεπτοὶ κοσμήτορες, χαίρετε.

Ἱεράρχαι θεόκλητοι,
Ἀρσινόης διάκοσμοι,
Νίκων, θείου Πνεύματος ἐνδιαίτημα,
Ἀρίστων, σκεῦος τῆς χάριτος,
θεόφρον Προέχιε,
ποιμασίας λαμπηδών,
καὶ φωσφόρε Ἀρκάδιε,
χαριτόβρυτε,
ὁ νικήσας τὸν πλάνον ἀγωγῇ σου
θεαρέστῳ, οὐρανόθεν
θεοπρεπῶς ἐδοξάσθητε.

Κόνων, κλέος Ἀκάμαντος,
ἀσκητῶν ἐγκαλλώπισμα,
Καλανδίων, λύχνε λαμπρὲ σεμνότητος,
πνευματοφόρε Ἀγάπιε,
ἀγάπης ἐπώνυμε
τοῦ Χριστοῦ καὶ Βαρλαάμ,
ὁ συντόνοις ἀσκήσεσι
τήξας σάρκα σου,
οἱ ὁμοῦ ἐν Ἀρόδαις ἰσαγγέλως
περατώσαντες ἀγῶνα
τὸν ἐπὶ γῆς, ἡγιάσθητε.

Θεοσέβιε ὅσιε,
τῶν ἐγγάμων ἀρχέτυπον,
βίον κατηνάλωσας τὸν ἐπίγειον
ὥσπερ βροτὸς ἰσουράνιος
καὶ σὺν τῇ Συμβίᾳ σου

ἀληθῶς τῇ θεαυγεῖ
ὤφθης νήψεως πρόβολος·
ὅθεν Κύριος
ὁ ἀξίως τὰ γέρα ἀπονέμων
τοῖς Αὐτοῦ γνησίοις φίλοις
σὲ ἀφθαρσίας ἠξίωσε.

Νεομάρτυς θειότατε,
ὁ ἀσκήσας ὡς ἄϋλος
ἐν Μονῇ τοῦ Μάμαντος τοῦ στεῤῥόφρονος,
ἣν Ἰβηρῖται ἐδόμησαν,
Νικόλαε ἄριστε,
ἐν δρυμοῖς Γιαλιᾶς
εὐλαβεῖς σου ὁμόφυλλοι,
πίστει ἤθλησας
Δαμασκοῦ ἐν τῇ πόλει καὶ ἀφθίτου
νίκης εἴληφας βραβεῖα
παρὰ Χριστοῦ τοῦ Παντάνακτος.

Ἀρσινόης ὁμήγυριν
τῶν ἁγίων τιμήσωμεν
ᾄσμασιν εὐτάκτοις καὶ μελῳδήμασι
κοινοῖς, Κυπρίων συστήματα,
καὶ πόθῳ αἰτούμενοι
τὰς αὐτῶν πρὸς τὸν Θεὸν
ἱκεσίας δοξάσωμεν
τὸν δωρούμενον
τοῖς αὐτοὺς ἀνυμνοῦσιν ἄμφω σθένος
καὶ ὑγίειαν καὶ ῥῶσιν
καὶ ψυχικὴν ἀγαλλίασιν.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον ὡς τηλαυγέστατοι προβάλλονται φωστῆρες
ἐν τῷ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ φωτεινῷ στερεώματι
οἱ ἐν Ἀρσινόῃ τῆς Κύπρου διαλάμψαντες Ἅγιοι
φωτίζοντες φιλεόρτων τὰ συστήματα·
οὗτοι γὰρ ποιμαντικοῖς τρόποις, ἀσκήσει καὶ μαρτυρίῳ
Χριστὸν τὸν Λυτρωτὴν ἡμῶν δοξάσαντες
τῆς ὑπὲρ νοῦν εὐφροσύνης ἠξιώθησαν ἐν πόλῳ δόξης·
αὐτοὺς οὖν καὶ ἡμεῖς ὡς φιλτάτους τῷ Χριστῷ ἐγκωμιάζοντες
τὰς αὐτῶν ἱκεσίας ἐκδεχόμεθα πρὸς βίον κρείττονα.

Καὶ νῦν. Θεοτοκίον. Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(Κεφ. η΄ 1 - 11)

Υἱέ, σὺ τὴν σοφίαν κηρύξεις, ἵνα φρόνησίς σοι ὑπακούσῃ· ἐπὶ γὰρ τῶν ὑψηλῶν ἄκρων ἔστιν, ἀνὰ μέσον δὲ τῶν τρίβων ἕστηκε· παρὰ γὰρ πύλαις δυναστῶν παρεδρεύει, ἐν δὲ εἰσόδοις ὑμνεῖται. Ὑμᾶς, ὦ ἄνθρωποι, παρακαλῶ καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· νοήσατε, ἄκακοι, πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου, σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίσω ἀπὸ χειλέων ὀρθά· ὅτι ἀλήθειαν μελετήσει ὁ φάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτῷ σκολιὸν οὐδὲ στραγγαλιῶδες· πάντα ἐνώπια τοῖς συνιοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσιν γνῶσιν. Λάβετε παιδείαν καὶ μὴ ἀργύριον καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον· κρείσσων γὰρ σοφία λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ΄ 1 - 9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε΄ 15 - στ΄ 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

*Ἰδιόμελα*

Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ ἡ ἁγιοτρόφος τῆς Ἀρσινόης ἐπαρχία,
ἡ λαμπρυνθεῖσα ἱδρῶσιν ἱεραρχῶν ἐνθέων καὶ ὁσίων πατέρων,
αὐτῶν συμφώνως τιμῶσα τοὺς ἀγῶνας πρὸς ἀρετῆς τελείωσιν,
καὶ ἐν ψυχικῇ ἀγαλλιάσει βόησον·
Χριστῷ οἱ εὐαρεστήσαντες ποιμαντικοῖς τρόποις, ἱεράρχαι,
καὶ θεόσοφοι ὅσιοι
οἱ ἐν χρόνοις διαφόροις καλῶς τὸν ἀγῶνα τελέσαντες
καὶ στέφει ἀφθαρσίας στεφανωθέντες
μὴ παύσησθε δυσωποῦντες τὸν Κύριον τῆς δόξης
διδόναι ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος β΄.

Τῇ πρακτικῇ ὑμῶν διδασκαλίᾳ καὶ νουθεσίᾳ
τὴν καλὴν ἐπιφέροντες ἀλλοίωσιν
Ἀρσινόης τοὺς δήμους ὡδηγήσατε πρὸς σωτηρίαν,
ἱεράρχαι θεόπνευστοι καὶ θεοπρόβλητοι·
διὸ ὑμᾶς περιχαρῶς γεραίροντες,

Ἀρίστων καὶ Ἀρκάδιε καὶ Προέχιε καὶ Νίκων,
Χριστὸν δοξάζομεν τὸν ὑμᾶς ἀγλαῶς σοφίσαντα
καὶ προστάτας ἡμῖν ἀναδείξαντα.

Ἦχος γ΄.

Τοὺς ἐν παρθενίᾳ τὸ στάδιον τῆς συζυγίας ἀνύσαντας
καὶ Θεῷ τὸν νοῦν πτερώσαντας εὐχῇ ἀσιγήτῳ,
Θεοσέβιον καὶ τὴν αὐτοῦ Συμβίαν,
ὡς ἰσάγγελον ζεῦγος εὐφημήσωμεν·
οὗτοι γὰρ Μελάνδραν ἡγίασαν ἀμέμπτῳ πολιτείᾳ
καὶ Ἀρσινόης τὴν περίχωρον τῇ αὐτῶν ἀφάτῳ σκληραγωγίᾳ·
ὅθεν τῆς ἀλήκτου μετέχοντες δόξης
πιστοὺς καθαγιάζουσι ταῖς αὐτῶν ἱκεσίαις
τοὺς μεγαλύνοντας πόθῳ αὐτῶν τῆς ἐγκρατείας παλαίσματα.

Ἦχος δ΄.

Ἐνδεδυμένοι τὴν πανοπλίαν τοῦ φωτὸς
ἀπεξεδύσασθε τὴν ζόφωσιν τῆς βροτείας φύσεως
ὅσιοι καὶ θεοφόροι ἀσκηταὶ Ἀκάμαντος καὶ Ἀρόδων·
ὑμᾶς γὰρ τιμῶντες κοινοῖς ἐν ᾄσμασι
καὶ τοὺς νυχθημέρους ὑμῶν ἀγῶνας γεραίροντες
ψυχῆς ἐν κατανύξει κραυγάζομεν, θεοειδέστατοι·
Κόνων, πολιστὰ τῆς δυσπροσίτου ἐρήμου φιλάρετε,
καὶ τριὰς τῶν ὁσίων συνασκητῶν ἐνθεωτάτη,
Καλανδίων, Βαρλαὰμ καὶ Ἀγάπιε,
Χριστὸν τὸν Θεὸν ἡμῶν ἱκετεύσατε
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ὁ αὐτός.

Τὴν θεοτίμητον ὁμήγυριν καὶ ἰσουράνιον σύλλογον
τῶν ἐν Ἀρσινόῃ διαλαμψάντων Ἁγίων,
ἱεράρχας, ὁσίους καὶ μάρτυρας
κοινοῖς ἐν ᾄσμασιν εὐφημήσωμεν κράζοντες·
οἱ τὰ πρόβατα τοῦ Χριστοῦ ποιμάναντες ἐπὶ χλόην σωτηρίας
καὶ οἱ ἀσκητικοῖς καμάτοις καὶ ῥείθροις αἵματος
Χριστῷ τῷ δικαίῳ στεφοδότῃ εὐαρεστήσαντες
μὴ παύσησθε πρεσβεύοντες Αὐτῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...

Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια. Πρῶτον τὸ Ἀναστάσιμον.
Εἶτα τῶν Ἁγίων.
Ἦχος πλ. α´. **Χαίροις, ἀσκητικῶν.**

Χαίροις, χορὸς Ἁγίων λαμπρός,
τῆς Ἀρσινόης τῆς ἐν Κύπρῳ κλεΐσματα,
κοσμήτορες Ἐκκλησίας
Χριστοῦ καὶ θείων σκηνῶν
οὐρανῶν πολῖται
θεοτίμητοι,
Ἀρίστων ἐπίσκοπε,
ὁ τὴν χάριν δεξάμενος
ἑσμὸν ἐλαύνειν
δαιμονίων τῇ χάριτι
τοῦ Παντάνακτος
καὶ Θεοῦ Παντοκράτορος,
θεοσεβὲς Ἀρκάδιε,
ποιμὴν θεοπρόβλητε,
θεοφορούμενε Νίκων,
νικῆτορ βίου ἐν σκάμματι
πρὸς κτῆσιν σοφίας
καὶ Προέχιε, Συνόδου
τετάρτης σέμνωμα.

Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Χαίροις, ὁ τῶν ὁσίων χορός,
τριὰς Ἀρόδων ἀσκητῶν θεοσύλλεκτε,
πανεύφημε Καλανδίων
σὺν Βαρλαὰμ τῷ σεπτῷ
καὶ τῷ Ἀγαπίῳ
τῷ θεόφρονι,
Ἀκάμαντος τίμιε
πολιστά, Κόνων ὄλβιε,
ὁ δι' ἀγάπην
ξενωθεὶς τοῦ Παντάνακτος
καὶ θειότατον
παρθενίας καὶ νήψεως
ζεῦγος Μελάνδρας, γνήσιε
Χριστοῦ, Θεοσέβιε,
φίλε, καὶ σῶφρον Συμβία
αὐτοῦ, θερμῶς ἱκετεύσατε

τὸν Λόγον Ὑψίστου
πέμψαι πᾶσιν οὐρανόθεν
τὸ μέγα ἔλεος.

Στίχος. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Χαίροις, ὁσιομάρτυς στεῤῥέ,
τῆς Γεωργίας ἱερώτατον βλάστημα,
ἐν Κύπρῳ ὁ ἐνασκήσας
καὶ τῶν ἱδρώτων ῥοαῖς
ταῖς αὐτοῦ πιάνας θείου Μάμαντος
τὴν μάνδραν τὴν ἔνδοξον,
γενναιόφρον Νικόλαε,
μαρτύρων νέων
πολυτίμητον κόσμημα
καὶ ὡράϊσμα
Δαμασκοῦ τιμαλφέστατον·
ὅθεν τιμῶντες σήμερον
τὴν πάνσεπτον μνήμην σου
σὺν τῇ κοινῇ τῶν Ἁγίων
τῆς Ἀρσινόης κραυγάζομεν·
Χριστὸν ἐκδυσώπει
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι
τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ´.

Τοὺς θεοδωρήτους ποταμοὺς τῆς σοφίας
τοὺς ἀνὰ τοὺς αἰῶνας καταρδεύσαντας Ἀρσινόης τὴν χθόνα
πρὸς πολύφορον στάχυν βίου κρείττονος
κοινοῖς ἐν ᾄσμασι σήμερον ἀνυμνήσωμεν·
οὗτοι γὰρ τοῖς νάμασι ποτισθέντες τῆς τοῦ Κυρίου ἀγάπης
ἐξήνθησαν ἄνθη ἀκραιφνοῦς πολιτείας
καὶ χάριν εἰλήφασι καταρδεύειν τὰς ψυχὰς τῶν αὐτῶν προσφύγων·
διὸ νῦν καὶ ἡμεῖς οἱ πιανθέντες τῇ αὐτῶν πρὸς Θεὸν παῤῥησίᾳ
τὰς ἀδιαλείπτους αὐτῶν εὐχὰς ἐξαιτούμεθα
πρὸς ἀρετῆς τελείωσιν.

Καὶ νῦν. Θεοτοκίον. Ἀνύμφευτε Παρθένε,.....

Νῦν ἀπολύεις... τὸ Τρισάγιον, τὸ Ἀναστάσιμον Ἀπολυτίκιον τοῦ ἤχου καὶ τὸ Ἀπολυτίκιον τῶν Ἁγίων.

Ἦχος πλ. α´. **Τὸν συνάναρχον Λόγον.**

Ἀρσινόης κοσμήτορας εὐφημήσωμεν
αὐτῶν λιτὰς ἐκζητοῦντες
πρὸς τὸν Δεσπότην Χριστόν,
θεῖον Νίκωνα, Προέχιον, Ἀρίστωνα
σὺν Ἀρκαδίῳ, Βαρλαάμ,
Καλανδίωνι σοφῷ
καὶ σώφρονι Ἀγαπίῳ,
Κόνωνα, τίμιον ζεῦγος
Θεοσεβίου καὶ Νικόλαον.

Θεοτοκίον. Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

Ἀπόλυσις.

*********************************

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Τὸ **Θεὸς Κύριος**. Τὸ Ἀναστάσιμον Ἀπολυτίκιον. Δόξα. Τῶν Ἁγίων.
Καὶ νῦν. Θεοτοκίον, ὡς προείπωμεν ἐν τῷ Ἑσπερινῷ.
Μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα·

Ἦχος α΄. **Τὸν τάφον Σου, Σωτήρ.**

Χορεία ἐκλεκτὴ
Ἀρσινόης Ἁγίων,
ἱλέωσαι ἡμῖν
τὸν Χριστὸν, Καλανδίων,
Ἀρίστων, Ἀρκάδιε,
Βαρλαάμ, Θεοσέβιε
σὺν Συμβίᾳ σου,
Κόνων, Προέχιε, Νίκων
καὶ Ἀγάπιε
σὺν ἀθλητῇ Νικολάῳ
τῷ νέῳ τῆς πίστεως.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Παρθένε ἀγαθή,
Μῆτερ Χρυσελεοῦσα,
ἀπαύστως οἱ πιστοὶ
σὲ τιμῶμεν βοῶντες·
Θεὸν ἐλεήμονα
ἐκδυσώπει, πανάχραντε,

πέμψαι ἔλεος
Αὐτοῦ τὸ μέγα καὶ θεῖον
τοῖς προστρέχουσι
σοὶ κώμαις τῆς Ἀρσινόης
καὶ σὲ μεγαλύνουσι.

Μετὰ τὴν β΄ Στιχολογίαν Καθίσματα, πρῶτον τὰ Ἀναστάσιμα καὶ εἶτα τῶν Ἁγίων.
Ἦχος δ΄. **Ταχὺ προκατάλαβε.**

Ἀρίστων, Ἀρκάδιε,
Νίκων, σοφὲ Βαρλαάμ,
σεμνὲ Θεοσέβιε
σὺν τῇ Συμβίᾳ τῇ σῇ,
θεόφρον Προέχιε,
Κόνων τε Καλανδίων
καὶ Ἀγάπιε μάκαρ,
ἅμα τῆς Ἰβηρίας
νεοπύρσευτον σέλας,
Νικόλαε, Ἀρσινοϊτῶν
ἔφοροι, χαίρετε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Χρυσοπατερίτισσα,
Πωμοῦ ἀκέστορ θερμή,
τὴν θείαν εἰκόνα σου
ὡς θησαυρὸν τιμαλφῆ
ἐν κόλποις βαστάζομεν
καὶ τῷ σεπτῷ ναῷ σου
εὐλαβῶς προσιόντες
χάριν καὶ εὐλογίαν
ἀρυόμεθα, Μῆτερ
ἁπάντων τῶν πιστῶν, ἀγαθὴ
Θεογεννήτρια.

Εὐθὺς ὁ Πολυέλεος, τὰ Ἀναστάσιμα Εὐλογητάρια, ἡ Ὑπακοὴ τοῦ τυχόντος ἤχου καὶ τὰ Καθίσματα.

Ἦχος γ΄. **Τὴν ὡραιότητα.**

Τὸν ἑνδεκάριθμον χορὸν τιμήσωμεν
Ἁγίων μέλεσιν εὐτάκτοις ἅπαντες

οἱ κατοικοῦντες εὐλαβῶς τὰς κώμας τῆς Ἀρσινόης,
ἱεράρχας ἔμφρονας, ἀσκητὰς οὐρανόφρονας
καὶ τὸν νεομάρτυρα τοῦ Κυρίου Νικόλαον,
ὡς βάθρα εὐσεβείας βοῶντες· Χαῖρε, ὁμὰς πνευματοφόρε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Οἱ Ἀναβαθμοὶ τοῦ ἤχου. Τὸ Προκείμενον.
Πᾶσα πνοή. Εὐαγγέλιον τὸ Ἑωθινόν.
Ἀνάστασιν Χριστοῦ θεασάμενοι...
Ὁ Ν΄ Ψαλμός.
Δόξα. Ταῖς τῶν Σῶν Ἁγίων πρεσβείαις, Ἐλεῆμον,...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,..
Ἀναστὰς ὁ Ἰησοῦς.... καὶ τὸ Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...
Εἶτα οἱ Κανόνες. Πρῶτον ὁ Ἀναστάσιμος. Εἶτα τῶν Ἁγίων, οὗ ἡ Ἀκροστιχίς·

**" Ἀρσινόης ἐκθύμως συνυμνῶ προστάτας. Χ. "**

Ὠδὴ α΄. Ἦχος δ΄. **Ἀνοίξω τὸ στόμα μου.**

Ἁγίους θεόφρονας
τῆς Ἀρσινόης ἀξίωσον
Σὸν δοῦλον τὸν ἄμουσον,
Λόγε Θεοῦ καὶ Θεέ,
μελῳδήμασιν
ὑμνῆσαι μελιῤῥύτοις
ὡς τῆς Ἐκκλησίας Σου
ἄνθη μυρίπνοα.

Ῥωσθέντες τῇ χάριτι
τοῦ Παρακλήτου ἰθύνατε
πρὸς τρίβους χρηστότητος
ἄρνας ὑμῶν λογικούς,
ἱερώτατοι
Ποιμένες Ἀρσινόης,

Χριστοῦ Ἀρχιποίμενος
τρίβων ἑπόμενοι.

Σοφίας τῆς ἄνωθεν
καὶ ἀρετῆς διαυγέστατα
δοχεῖα, Προέχιε,
Ἀρίστων θεοειδές,
Νίκων ἔνθεε
καὶ ὄλβε ποιμασίας,
Ἀρκάδιε, ἄσυλε,
χαίρετε, κράζομεν.

Θεοτοκίον.

Ἰσχὺν δός μοι ἄνωθεν,
σεμνὴ Χρυσοπατερίτισσα,
πατῆσαι τὸ φρύαγμα
τοῦ μισοκάλου ἐχθροῦ
παρακλήσεσιν
Ἁγίων Ἀρσινόης,
κοινὴν ὧν πανήγυριν
ἄγομεν σήμερον.

Ὠδὴ γ΄. **Τοὺς σοὺς ὑμνολόγους.**

Νεόαθλε μάρτυς τοῦ Ὑψίστου,
Νικόλαε, Μάμαντος Μονὴν
ἡγίασας σοῖς δάκρυσι
καὶ Δαμασκὸν αἱμάτων σου
ῥανίσιν, ἱερώτατον
τῆς Γεωργίας ἐκβλάστημα.

Ὁσίων πατέρων κοσμιότης,
Ἀκάμαντος ἔνοικε σοφέ,
διαγωγῇ ἀμέμπτῳ σου,
νηστείᾳ, νήψει, δάκρυσι
καὶ ταπεινώσει ἔλαμψας,
Κόνων, ὡς ἥλιος πάμφωτος.

Ἡ θεία δυὰς τῶν ὁμοζύγων
τιμάσθω νῦν ᾄσμασι τερπνοῖς
ὁ πάνυ Θεοσέβιος,

τῆς παρθενίας ἔκτυπον
καὶ ἡ αὐτοῦ περίλαμπρος
Συμβία ἡ ἀξιάγαστος.

Θεοτοκίον.

Στενῆς, Χρυσολάκουρνα, κοσμῆτορ,
θερμῶν πρεσβειῶν σου τῷ φωτὶ
παθῶν ἡμῶν σκοτόμαιναν
ζοφώδη ἀποδίωξον
καὶ ἀπλανῶς κατεύθυνον
ἡμᾶς πρὸς φέγγος σωτήριον.

Εἶτα Συναπτὴ μικρά, τὸ Ἀναστάσιμον Κοντάκιον καὶ ὁ Οἶκος καὶ τὰ ἑξῆς Καθίσματα.

Ἦχος γ΄. Θείας πίστεως.

Θεοσέβιε σὺν σῇ Συμβίᾳ,
Κόνων πάντιμε καὶ Καλανδίων,
Βαρλαάμ, Ἀρίστων, Νίκων, Ἀρκάδιε,
καὶ σὺν κλεινῷ Προεχίῳ, Ἀγάπιε
καὶ νεομάρτυς Νικόλαε, Κύριον
ἱκετεύσατε, φανοὶ Ἀρσινόης πάμφωτοι,
σκεδάσαι τῶν παθῶν ἡμῶν σκοτόμαιναν.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Σκέπε ἄνωθεν τὴν Ἀρσινόην
ἀνυμνοῦσάν σε, Θεογεννῆτορ,
και προσφεύγουσάν σοι βίου ἐν κλύδωσι
καὶ Χρυσοχοῦς Πόλιν, Χρυσοπολίτισσα,
τὴν ἐξαιρέτως τιμῶσάν σε πάντοτε,
ὡς φιλόστοργος, πανάμωμε, ὄρνις, Δέσποινα,
νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας.

Ὠδὴ δ΄. **Ὁ καθήμενος ἐν δόξῃ.**

Ἀρσινόης τοὺς ἐφόρους
καὶ θερμοὺς ἀντιλήπτορας,
θείους ἱεράρχας,
δῆμον ἀσκητῶν θεοείκελον
καὶ νεομάρτυρα ὅσιον, Νικόλαον,
εὐφημήσωμεν
μελισταγέσιν ἐν ᾄσμασι.

Καλανδίων θεοφόρε,
Βαρλαὰμ καὶ Ἀγάπιε,
καλιὰν ἀγώνων
ἐν Ἀρόδαις Ἄνω ἐπήξατε
ἀσκητικῶν καὶ βραβεῖα ἀπειλήφατε
ἄνω κλήσεως
ὡς ἰσουράνιοι μέροπες.

Θεοείκελε Ἀρίστων,
Ἀρσινόης ἐπίσκοπε,
πνεύματα διώκεις
χάριτι σῇ θείᾳ ἀκάθαρτα
καὶ ὑπὲρ πάντων πρεσβεύεις τῷ Παντάνακτι
ἐκτελούντων σου
μνήμην τὴν ὄντως πανεύφημον.

Θεοτοκίον.

Ὑπερύμνητε Παρθένε,
Μῆτερ Χρυσοπολίτισσα,
τοὺς ἐν Ἀρσινόῃ
εὐλαβῶς οἰκοῦντας ἐλέους σου
τοῖς ὀχετοῖς ῥύπου κάθαρον κακότητος
καὶ ἐξάγνισον
ὑσσώπῳ τῆς προστασίας σου.

Ὠδὴ ε΄. **Ἐξέστη τὰ σύμπαντα.**

Μυρίπνοον κύμινον
Ἀκάμαντος, θειότατε
Κόνων, ταῖς ὀσμαῖς σῆς εὐλαβείας
καὶ ἐγκρατείας
καὶ νοερᾶς προσευχῆς
κατηύφρανας πάντας τοὺς πιστούς·
ὤφθη γὰρ ὁ βίος σου
εὐωδία τοῦ Κτίσαντος.

Ὡς πίστεως πρόμαχον,
Προέχιε, τιμῶντές σε,
καὶ Σύνοδου κλέϊσμα Τετάρτης,
σὲ δυσωποῦμεν·

ἀρχιερεῦ ἐκλεκτέ,
ἐν πίστει ὀρθῇ ταῖς σαῖς λιταῖς
στήριξον τοὺς μέλποντας
τὴν ὑπέρλαμπρον μνήμην σου.

Σοφίας, Ἀρκάδιε,
ἀρχέτυπον, ἐποίμανας
ποίμνην λογικήν σου θεαρέστως
καὶ Ἀρσινόης
ἀρχιερεὺς θεαυγὴς
ὀφθεὶς ἀπεδίωξας ἀχλὺν
ἀσεβῶν ῥημάτων σου
ἀστραπαῖς, οὐρανόφωτε.

Θεοτοκίον.

Σ εμνότητος σκήνωμα,
Θεογεννῆτορ Δέσποινα,
Θελετρφυλάκτρια Παρθένε,
Ἁγίων πάντων
τῆς Ἀρσινόης λιταῖς
ἀπὸ πάσης φύλαττε δεινῆς
ἐπηρείας ὄφεως
τοὺς πιστῶς σοι προσφεύγοντας.

Ὠδὴ στ´. **Τὴν θείαν ταύτην.**

Ὑμνοῦμεν ἐπαγαλλόμενοι
Ἁγίων Ἀρσινόης τὴν σύναξιν
κοινοῖς ἐν ᾄσμασι
καὶ τὰς αὐτῶν ἐκδεχόμεθα
πρὸς Κύριον ἐντεύξεις
τὸν πολυεύσπλαγχνον.

Νικήτωρ, Νίκων, ἀήττητος
ἐν μάχαις ὑπὲρ ποίμνης ἐλλόγου σου
ὀφθεὶς σωτήριον
ἔστησας τρόπαιον, πάνσεπτε,
ἐν Ἀρσινόῃ, πάτερ πανιερώτατε.

Ὑπὲρ ἀγάπης τοῦ Κτίσαντος
Ἀγάπιε, τερπνὰ κόσμου ἔλλιπες

καὶ πόθῳ ἤσκησας
σὺν τῷ κλυτῷ Καλανδίωνι
καὶ Βαρλαὰμ τῷ θείῳ,
τρισμάκαρ ὅσιε.

Θεοτοκίον.

Μὴ παύσῃ, πάναγνε Χόρτενη,
ἀκέστορ Πελαθούσης ἀνύστακτε,
τὸν θεῖον Τόκον σου
ἐκδυσωπῶν δοῦναι ἅπασι
σὲ ἀνυμνολογοῦσιν
ἄμφω ὑγίειαν.

Κοντάκιον. Ἦχος πλ. δ΄. **Τῇ Ὑπερμάχῳ.**

Ἀρίστων, Κόνων, Καλανδίων,Θεοσέβιε
σὺν Ὁμοζύγῳ σου, Ἀγάπιε, Ἀρκάδιε,
Βαρλαάμ, σεπτὲ Προέχιε, Νίκων θεῖε
καὶ νεόαθλε Νικόλαε, γηθόμενοι
Ἀρσινόης ὡς φωστῆρας ὑμᾶς μέλποντες
πόθῳ κράζομεν· Χαίροις, δῆμε θεόκλητε.

Ὁ Οἶκος.

Ἅγιοι θεοφόροι
Ἀρσινόης ἐν Κύπρῳ,
ὑμᾶς ἐν κατανύξει τιμῶμεν,
ἱεράρχας λαμπροὺς καὶ χορὸν
θεαυγῶν ὁσίων σὺν κλεινῷ μάρτυρι,
τῷ Νικολάῳ κράζοντες
ψυχῆς ἐν κατανύξει ταῦτα·

Χαίρετε, φῶτα τῆς εὐσεβείας·
χαίρετε, βάθρα Θεοῦ σοφίας.

Χαίρετε, ὁσίων ἁπάντων κλείσματα·
χαίρετε, ἁγίων τῆς Κύπρου καυχήματα.

Χαίρετε, σεπτοὶ διάκοσμοι Ἐκκλησίας τοῦ Χριστοῦ·
χαίρετε, ὡραῖοι πρόβολοι ἀγαπήσεως Αὐτοῦ.

Χαίρετε, Ἀρσινόης ἀνύστακτοι ἔφοροι
χαίρετε, τῆς ἀπάτης τοῦ πλάνου ἀντίπαλοι.

Χαίρετε, ὅρμοι μερόπων εὔδιοι·
χαίρετε, πύργοι ἀγάπης ἄσειστοι.

Χαίρετε, φῶτα ὑπέρφωτα Λόγου·
χαίρετε, ῥεῖθρα ἰάσεων κόσμου·

Χαίροις, δῆμε θεόκλητε.

Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς τυχούσης Α Κυριακῆς τοῦ Ματθαίου. Εἶτα λέγομεν·

Τῇ αὐτῇ ἡμέρᾳ κοινὴν μνήμην ἐπιτελοῦμεν Πάντων τῶν ἐν τῇ ~~Χωρ~~Ἐπισκοπῇ Ἀρσινόης διαλαμψάντων Ἁγίων, οἵτινές εἰσιν· Ἀρίστων, Ἀρκάδιος, Προέχιος καὶ Νίκων, οἱ ἐπίσκοποι, Θεοσέβιος καὶ ἡ αὐτοῦ Συμβία, οἱ ὅσιοι, Κόνων, ὅσιος ὁ ἐν τῷ Ἀκάμαντι, Καλανδίων, Βαρλαὰμ καὶ Ἀγάπιος, ὅσιοι οἱ ἐν Ἀρόδαις, καὶ Νικόλαος ὁ νέος ὁσιομάρτυς, ὁ Ντβάλι.

Στίχοι.

Σμῆνος θεαυγῶν Ἀρσινόης ἐφόρων
Κύπρου ὡραΐσατε Ἁγίων δῆμον.

Ὁ ἅγιος Νίκων θεοφιλῶς ἐποίμανε τὴν λογικὴν τῆς Ἀρσινόης ἀγέλην καὶ ἐκοιμήθη ἐν εἰρήνῃ. Τιμᾶται ὁμοῦ μετὰ τοῦ αὐτοῦ διαδόχου, ἁγίου Ἀρκαδίου τῇ 29η Αὐγούστου. Οὗτος ἀδελφὸς πέλων κατὰ σάρκα τοῦ ὁσίου Θεοσεβίου τοῦ Ἀρσινοΐτου κατήγετο ἐκ Μελάνδρας Πάφου. Διὰ τὴν ἀρετὴν αὐτοῦ ἔλαβε τὴν χάριν τῶν ἰαμάτων. Ὁ ἅγιος Ἀρίστων, ἐπίσκοπος καὶ οὗτος Ἀρσινόης, ἦτο περιβόητος διὰ τὴν χάριν τῆς ἐκδιώξεως πνευμάτων ἀκαθάρτων. Ἡ μνήμη αὐτοῦ τιμᾶται τῇ 22α Φεβρουαρίου. Ὁ ἅγιος Προέχιος, τῆς Ἀρσινόης καὶ αὐτὸς κοσμήτωρ, συμμετέσχε τῆς Τετάρτης ἐν Χαλκηδόνι Συνόδου. Τιμᾶται μετὰ τῶν λοιπῶν πατέρων τῆς Τετάρτης Οἰκουμενικῆς Συνόδου τῇ Κυριακῇ μετὰ τὴν 11ην Ἰουλίου. Ὁ ὅσιος Κόνων, ὁ ἐν Ἀκάμαντι ἀσκήσας καὶ θεωθεὶς κατὰ μέθεξιν τιμᾶται τῇ 5η Μαρτίου. Οἱ ὅσιοι Καλανδίων, Ἀγάπιος καὶ Βαρλαάμ, οἱ ἐν Ἀρόδαις ἀσκήσαντες καὶ βραβεῖα λαβόντες ἀϊδιότητος τιμῶνται τῇ 26η Ἀπριλίου. Ὁ ὅσιος Θεοσέβιος μετὰ τῆς αὐτοῦ ὁσίας Συμβίας ἐκ συμφώνου ἐβίωσαν τὸν γάμον ἐν ἄκρᾳ ἐγκρατείᾳ καὶ σεμνότητι. Τιμῶνται ὁμοῦ τῇ 12η Ὀκτωβρίου. Ὁ νεομάρτυς Νικόλαος ὁ ἐπικεκλημένος Ντβάλι, θεοφιλῶς ἤσκησεν ἐν τῇ Γεωργιανῇ μονῇ τοῦ μάρτυρος Μάμαντος παρὰ τὴ Γιαλιὰν τῆς Ἀρσινόης. Ἤθλησεν ἐν Δαμασκῷ τῇ 19η Ὀκτωβρίου τοῦ 1314.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Νῦν προσπίπτοντες
ὑμῶν ταῖς παρακλήσεσι
πρὸς τὸν Θεάνθρωπον
καὶ Λυτρωτὴν τοῦ παντὸς
κραυγάζομεν· ῥύσασθε
δεινῆς κακώσεως
εὐσεβόφρονας
ὑμᾶς τιμῶντας, Ἅγιοι
Ἀρσινόης θεοφόροι.

Ὡραΐσματα
τῆς Ἐκκλησίας, Ἅγιοι,
κατηγλαΐσατε
τὴν Ἀρσινόην ὑμῶν
ἀσκήσεως σκάμμασι,
Κόνων, Ἀγάπιε,
Θεοσέβιε
σὺν θείᾳ Ὁμοζύγῳ σου,
Βαρλαὰμ καὶ Καλανδίων.

Ποίμνην ἔλλογον
τῆς Ἀρσινόης, ἄριστοι,
σοφῶς ἰθύνατε
πρὸς οὐρανίους νομάς,
Ἀρίστων, Ἀρκάδιε,
Νίκων πανεύφημε
καὶ Προέχιε,
κοσμῆτορ πολυτίμητε
τῆς Συνόδου τῆς Τετάρτης.

Θεοτοκίον.

Ῥῦσαι θλίψεων
τοὺς ἀνυμνολογοῦντάς σε,
Θεογεννήτρια,
Λάσης τῆς κώμης φρουρέ,
Ἐλεομορφίτισσα,

καὶ βλάβης λύτρωσαι
τοὺς γεραίροντας
ἐν κατανύξει σκάμματα
τῶν Ἁγίων Ἀρσινόης.

Ὠδὴ η΄. **Παῖδας εὐαγεῖς.**

Ὅσιε, Ἀκάμαντος κοσμῆτορ,
ὁ πήξας τὴν καλιὰν τῆς σῆς ἀσκήσεως
ἐν δυσβάτοις ἄλσεσι,
Κόνων ἀξιάγαστε,
μὴ παύσῃ ἱλεούμενος
ἡμῖν τὸν Κύριον
τοῖς μέλπουσι σὴν πάνσεπτον μνήμην
ᾄσμασιν εὐήχοις
καὶ ὕμνοις μελιῤῥύτοις.

Στῦλε ἀδιάσειστε ἀνδρείας,
Νικόλαε, Γεωργίας γόνε πάντιμε,
κλονουμένους στήριξον
ἐν τῇ πίστει κράζοντας·
μονῆς οἰκῆτορ ἔνθεε
τοῦ θείου Μάμαντος,
τῆς οὔσης ἐν δρυμοῖς Ἀρσινόης,
χαῖρε, νεοάθλων
τῆς Δαμασκοῦ σεμνότης.

Τίμιος καὶ ἄμεμπτος ὁ γάμος
ὁ σὸς ἀνεδείχθη, Θεοσέβιε,
ὅνπερ διετήρησας
τῆς σεμνῆς Συμβίας σου
συγκατανεύσει, ὅσιε,
ὄντως ἀμόλυντον
βιώσας ἐγκρατείᾳ ἐν ἄκρᾳ,
προσευχῇ, νηστείᾳ,
σεμνότητι καὶ νήψει.

Θεοτοκίον.

Ἄνω τῶν Ἀρόδων παραστάτις,
Παρθένε Χρυσοσπηλιώτισσα, πανάμωμε,
σκέπε τοὺς γεραίροντας

θεῖον Καλανδίωνα
καὶ ξυνωρίδα πάνσεπτον
καὶ οὐρανόφρονα
ὁσίων σὺν αὐτῷ ἀσκησάντων
ὧδε, Θεοτόκε,
ὑπερευλογημένη.

Ὠδὴ θ΄. **Ἅπας γηγενής.**

Τῶν ἱεραρχῶν
τετράδα τιμήσωμεν
τὴν ἁγιόλεκτον
Ἀρσινόης κράζοντες·
οἱ ποιμασίᾳ
καὶ ἀγαθότητι
ἐν κόσμῳ διαπρέψαντες,
σοφῶς ἰθύνατε
πρὸς σκηνώσεις
οὐρανῶν τὴν ἔλλογον
τοῦ Κυρίου ἀγέλην, πανένδοξοι.

Ἅπαντες πιστοί,
εὐσχήμως τιμήσωμεν
τὸν θεῖον σύλλογον,
Ἀρσινόης λείρια
τὰ μυροβόλα
καὶ εὐωδέστατα
κιννάμωμα τῆς χάριτος
πιστῶς κραυγάζοντες·
θεοφόροι
Ἅγιοι, τῶν θλίψεων
δυσωδίαν ἡμῶν ἐκδιώξατε.

Στῦλοι ἀκλινεῖς
Χριστοῦ θείας πίστεως,
ὑμᾶς γεραίρομεν,
Ἀρσινόης ἔφοροι,
καὶ παραστάται
καὶ ἀντιλήπτορες,
κοινοῖς ἐν μελῳδήμασι
καὶ ὕμνοις σήμερον
ἐκβοῶντες·

φιλοστόργως σκέπετε
οὐρανόθεν πιστῶν τὰ συστήματα.

Θεοτοκίον.

Χαῖρε, Μαριάμ,
Γιόλου θησαύρισμα,
κλεινὴ Παντάνασσα,
Θεοτόκε, κράζοντες,
σὲ δυσωποῦμεν·
ὑψόθεν ὄμβρισον
ἡμῖν σῆς θείας χάριτος
ῥανίδας, Δέσποινα,
τοῖς ὑμνοῦσιν
Ἀρσινόης σύλλογον
τῶν Ἁγίων φαιδροῖς μελῳδήμασι.

Μικρὰ Συναπτή. **"Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν"** ἐκ γ΄ **"Ὑψοῦτε Κύριον "**, τὸ Ἀναστάσιμον Ἐξαποστειλάριον καὶ τῶν Ἁγίων τὸ παρόν.
Ἐξαποστειλάριον. **Γυναῖκες ἀκουτίσθητε.**

Τῆς Ἀρσινόης σύλλογον
Ἁγίων εὐφημήσωμεν,
τοὺς θεαυγεῖς κληρονόμους
τῶν οὐρανῶν Βασιλείας,
ὡς τῶν πιστῶν συλλήπτορας
ἐν βίου δίναις κράζοντες·
ἀρχιερεῖς τε ὅσιοι
καὶ νεομάρτυς στεῤῥόφρον,
Χριστὸν ἡμῖν ἱλεοῦσθε.

Θεοτοκίον.

Χρυσελεοῦσα Δέσποινα,
ἐλέους κρήνη ἄφθονε,
καρδίας ἄρδευε πάντων
ἐν Ἀρσινόῃ οἰκούντων
καὶ χείλη τάχος ἄνοιξον
αὐτῶν ἀεὶ γεραίρειν σε
καὶ τὸν Παντελεήμονα
δοξολογεῖν εὐσχημόνως
Υἱόν σου καὶ πάντων Κτίστην.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα δ΄ καὶ τῶν Ἁγίων τὰ ἑξῆς δ΄ Προσόμοια.

Ἦχος α΄. **Πανεύφημοι μάρτυρες.**

Χορείαν ἁγίων εὐκλεῆ
Ἀρσινόης μέλψωμεν
βοῶντες· χαίρετε, πίστεως
φανοί, Προέχιε,
Καλανδίων, Κόνων,
Νίκων, Θεοσέβιε
Συμβίᾳ σὺν σεπτῇ σου, Ἀρκάδιε,
Ἀρίστων πάντιμε,
Βαρλαάμ, κλεινὲ Ἀγάπιε,
Καλανδίων
καὶ μάρτυς Νικόλαε.

Ὁσίων πατέρων καλλοναί,
Ἀρσινόης ἔφοροι,
ὦ Βαρλαὰμ καὶ Ἀγάπιε
πνευματοφόρητε,
Καλανδίων σῶφρον,
μάκαρ Θεοσέβιε
σὺν θείᾳ καὶ σεπτῇ Ὁμοζύγῳ σου,
καὶ Κόνων ὄλβιε,
τοῦ Ἀκάμαντος διάκοσμε,
εὐλογεῖτε
ὑμᾶς τοὺς γεραίροντας.

Ἀρίστων, ποιμένων ἀριστεῦ,
σὺν τῷ σῷ ὁμαίμονι,
νῦν Ἀρκαδίῳ τῷ σώφρονι,
θεοειδέστατε
Νίκων, μυστολέκτα
τοῦ Χριστοῦ τῆς πίστεως
καὶ δήμου Χαλκηδόνος, Προέχιε,
πατέρων καύχημα,
Ἀρσινόης ὡς προΐστορας
καὶ ποιμένας
σεπτοὺς μακαρίζομεν.

**Π**ιστοὶ συνελθόντες εὐλαβῶς,
δεῦτε, ἀνυμνήσωμεν
κοινοῖς ψαλμοῖς τε καὶ ᾄσμασι
τοὺς διαπρέψαντας
ᾧδε ποιμασίας
τρόποις καὶ ἀσκήσεως
καμάτοις ἱεροῖς σὺν τῷ μάρτυρι
τῷ νέῳ πίστεως,
Νικολάῳ, καὶ γηθόμενοι
θείαν μνήμην
αὐτῶν μεγαλύνωμεν.

**Δόξα. Ἦχος πλ. δ΄.**

**Δ**εῦτε, Ἀρσινόης φιλεόρτων οἱ δῆμοι,
κοινοῖς ἐν ὕμνοις συμφώνως τιμήσωμεν
πάντων ἡμῶν τοὺς Ἁγίους ἐφόρους καὶ ἀντιλήπτορας·
οὗτοι γὰρ ἐν ποικίλοις διαλάμψαντες χρόνοις
Χριστοῦ ἐμεγάλυναν τὴν Ἐκκλησίαν
καὶ οὐρανοπολῖται γεγόνασιν·
αὐτοῖς οὖν ἐν εὐλαβείᾳ βοήσωμεν·
Ἀρίστων, Ἀρκάδιε, Νίκων, Προέχιε,
καὶ σὺν Κόνωνι, Θεοσεβίῳ καὶ τῇ αὐτοῦ Συμβίᾳ,
Καλανδίων, Βαρλαάμ, Ἀγάπιε καὶ Νικόλαε,
μὴ παύσησθε Χριστῷ πρεσβεύοντες
ὑπὲρ τῶν τιμώντων ὑμῶν τὴν ἑόρτιον σύναξιν.

**Καὶ νῦν. Θεοτοκίον.**
Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε,..

**Δοξολογία Μεγάλη καὶ τὸ Τροπάριον·**
Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν...

*************************************************************

# ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙᾼ

**Τὰ Τυπικά. Εἰς τοὺς Μακαρισμοὺς ψάλλομεν δ΄ ἐκ τῆς Ὀκτωήχου καὶ ἡ γ΄ καὶ στ΄ ᾠδὴ ἐκ τοῦ Κανόνος τῶν Ἁγίων.**
**Τὰ Ἀπολυτίκια καὶ τὸ Κοντάκιον "Προστασία τῶν Χριστιανῶν ".**

**Ἀπόστολον ζήτει τῇ Κυριακῇ τῶν Ἁγίων Πάντων.**

**Εὐαγγέλιον τῆς τυχούσης Κυριακῆς.**

**Κοινωνικόν.** Αἰνεῖται τὸν Κύριον ἐκ τῶν οὐρανῶν.

**Μεγαλυνάριον.**

Χαίροις, Ἀρσινόης σεπτὸς χορὸς
εὐκλεῶν Ἁγίων,
ἱεράρχαι θεοειδεῖς,
ὅσιοι πατέρες
καὶ θεῖε νεομάρτυς,
Χριστοῦ τῆς Ἐκκλησίας
ἔμψυχα μάργαρα.

**Δίστιχα.**

**Δῆμον Ἀρσινοϊτῶν Ἁγίων ᾖσε**
**Χαραλάμπης χάριν Γεωργίου πάνυ.**

**Γεώργιον Χωρεπίσκοπον σκέπετε**
**ἀεὶ θεόθεν, Ἅγιοι Ἀρσινόης.**

**ΤΕΛΟΣ**

**ΚΑΙ ΔΟΞΑ**

**ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ**

**ΘΕΩ ΗΜΩΝ**